# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΝΕΟΦΥΤΟΥ

ΨΑΛΛΟΜΕΝΗ ΤΗι ΚΑ΄ ΙΑΝΟΥΑΡΙΟΥ

ΕΞΕΔΟΘΗ ΤΟ ΠΡΩΤΟΝ ΕΝ ΒΟΥΚΟΥΡΕΣΤΙῼ ΕΝ ΕΤΕΙ 1723

ΥΠΟ

ΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΝΑΥΠΑΚΤΟΥ ΚΑΙ ΑΡΤΗΣ ΝΕΟΦΥΤΟΥ

ΤΟ ΔΕΥΤΕΡΟΝ ΔΕ ΝΥΝ ΕΚΔΙΔΟΤΑΙ

*δαπάναις τοῦ Παναγιωτάτου Οἰκουμενικοῦ Πατριάρχου*

ΝΕΟΦΥΤΟΥ Η΄ ΤΟΥ ΑΠΟ ΝΙΚΟΠΟΛΕΩΣ

ΜΕΤΑΓΡΑΦΕΙΣΑ ΕΚ ΠΑΛΑΙΟΥ ΧΕΙΡΟΓΡΑΦΟΥ ΤΟΥ ΑΓΙΟΥ ΟΡΟΥΣ

†

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

1892

ΕΚ ΤΟΥ ΠΑΤΡΙΑΡΧΙΚΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ

Ἱερομόναχος Νεόφυτος τῇ 15ῃ Μαρτίου 1892.
Παντελεήμων

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ
7°
X [754] 751
Petit p. 204 N° 2




ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ
ΓΝ

# ΤΗ ΚΑ΄ ΙΑΝΟΥΑΡΙΟΥ ΜΗΝΟΣ

## ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

# ΝΕΟΦΥΤΟΥ

### Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ.

*Μετὰ τὸν Προοιμιακὸν στιχολογοῦμεν τὸ ά Ἀντίφωνον τοῦ* Μακάριος ἀνήρ. *Εἰς δὲ τὸ* Κύριε ἐκέκραξα *ἱστῶμεν στίχους ϛ΄ καὶ ψάλλομεν στιχηρὰ Προσόμοια. Ἦχος πλ. δ΄ δευτεροῦντες αὐτά.*

Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! Περιστερὰ ὁμιλεῖ, Νεοφύτῳ τῷ Μάρτυρι, ἀνθρωπίνῳ φθέγματι, ἐκ τῶν ἄνω φοιτήσασα, δι᾽ ἧς ἀστράπτει βίον ἰσάγγελον· ὑφ᾽ ἧς νεάζων, ἀθλουργεῖ κράτιστα· ὢ θείων πράξεων, τοῦ πεντάθλου Μάρτυρος· οὗ ταῖς εὐχαῖς, σῶσον τὰς ψυχὰς ἡμῶν, Χριστὲ, ὡς εὔσπλαγχνος.

Ὢ τοῦ παραδόξου θαύματος! ἀπὸ σπαργάνων αὐτοῦ, ὁ ἀρτίφρων Νεόφυτος, ἐκτελεῖ θαυμάσια, ἐνεργείᾳ τοῦ Πνεύματος· ἐκ πέτρας ὕδωρ, εὐχαῖς ἀρύεται· νεκρὰν ἐγείρει, ἧς ὤφθη γέννημα· ὢ θείων πράξεων, τοῦ πεντάθλου Μάρτυρος· οὗ ταῖς εὐχαῖς, σῶσον τὰς ψυχὰς ἡμῶν, Χριστὲ, ὡς εὔσπλαγχνος.

Ὢ τοῦ παραδόξου θαύματος! ὑπὲρ Χριστοῦ ἐναθλῶν, ὁ γενναῖος Νεόφυτος, τοὺς ἐχθροὺς ἐξίστησιν, ἐξαισίοις ἐν θαύμασι· τὸ πῦρ κοιμίζει,

τούτῳ βαλλόμενος· ἀγρίους θῆρας πτήσσοντας δείκνυσιν· ὢ κράτος ἄμαχον, ἐν ᾧ τεθαυμάστωται ὁ ἀθλητής. Ἀλλὰ ταῖς εὐχαῖς αὐτοῦ, σῶσον ἡμᾶς ὁ Θεός.

*Εἰ βούλει εἰπὲ ἐκ τοῦ Μηναίου καὶ τρία Προσόμοια τοῦ ἁγίου Μαξίμου, λέγων ἅπαξ ἕκαστον τῶν ἀνωτέρω Προσομοίων.*

Δόξα. Ἦχος πλ. β'.

Μαρτύρων Θεῖος πυρσός, τῆς Ἐκκλησίας λαμπρότης, τοῦ Εὐαγγελίου ἡ ἐκπλήρωσις, αὐτὸς ἔργῳ τοῦ Σωτῆρος τὸ ποτήριον ἔπιες· καὶ τὸ σῶμά σου προδοὺς ταῖς βασάνοις, ὡς ἄμωμον καὶ τέλειον ἱερεῖον αὐτῷ ἐσφαγίασας· ἡ τῶν αἱμάτων σου χύσις, μαρτυρικήν σου καταστολὴν ἐπορφύρωσεν· ἡ σιδηρᾶ λόγχη ὁμολογίας σε διαδήματι κατεκόσμησε. Τοὺς ἀσωμάτους ἐξέπληξας, τοῦ Χριστοῦ Μεγαλομάρτυς Νεόφυτε, ὃν ἀπαύστως πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. *Θεοτοκίον.* Τίς μὴ μακαρίσει σε.

*Εἴσοδος. Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.*

**Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.**

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γένεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ Μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται· ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων· ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος· ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν



ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνᾶναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς· καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.**

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἀλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΚΤΗΤΟΡΗΣ ΠΑΠΑ...

**Εἰς τὴν Λιτήν·** *λέγε πρῶτον τὸ Τροπάριον τῆς Λιτῆς τῆς Μονῆς, εἶτα τὰ ἑξῆς τοῦ Ἁγίου*

*Ἦχος γ'.*

Νῦν εἰς σημεῖον τοῖς πᾶσιν, ἐμφανῶς ἡ κλῆσίς σου γέγονεν· θεοειδὴς γὰρ ἑστὼς τοῦ Θεοῦ λειτουργός, δέλτον σοι ἐγχειρίζεται, θεϊκῆς ἐπαγγελίας χάριτος, τοῦ μεγάλου φωτὸς, τοῖς ἀρρήτοις ἕπεσθαι κρίμασιν· ἀοράτως κελεύων ὑποχωρεῖν, καὶ γονεῦσι συνεῖναι εὐεργέτην πατέρων ταφῆς. Ἅγιος, Ἅγιος, Ἅγιος Σαβαὼθ, συγκαλῶν οὐρανόθεν σε, τρισμάκαρ Νεόφυτε, ὑπαντῆσαι Νυμφίῳ, Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

*Ὁ αὐτός.*

Νῦν τὸ παράκλητον Πνεῦμα, ἐπὶ σὲ πλουσίως ἐκκέχυται· ταῖς ἐκ παίδων γὰρ χορείαις ἀρξάμενος, ἔκτοτε κατὰ μέθεξιν, πανταχοῦ τὴν χάριν ἐφήπλωσας· καὶ πιστοῦνται αὐτοῦ τὴν κραταιὰν ἐπιφοίτησιν, περιστερᾶς ἐν εἴδει σοι καταπτὰν, διανέμον σοι χάριν εἰς ὑμνῳδίαν καὶ δόξαν Θεοῦ. Διὸ τὴν καρδίαν νοερῶς ἐλλαμπόμενος, ἀθλοφόρε Νεόφυτε, τῷ ἁγίῳ Πνεύματι, ἐκδυσώπει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Ὁ αὐτός.*

Νῦν περιβάλλεται κράτος, τοῦ Χριστοῦ ὑψόθεν ὁ ἀθλητής· ἐξερεύγεται ῥῆμα γὰρ Πνεύματος, καὶ Θεὸν ἀνεκήρυξε, μυστικῇ καινότητι πίστεως· ὃν ταῖς θείαις φωναῖς, καὶ ὑψηγόροις γεραίροντες ὡς ἀήττητον Μάρτυρα καὶ στεῤῥὸν· ἀνομούντων τυράννων, ἀθεώτατον βῆμα καταβαλὼν, φυτευθεὶς Κυρίου ἐν αὐλαῖς ἔνθα αἴνεσις, Τριάδα προσκυνήσας δὲ, εὐκλεὲς Νεόφυτε, ἐκδυσώπει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δόξα. Ἦχος πλ. α'.*

Τῇ νῦν πανηγύρει συνδράμωμεν οἱ πιστοί· προτίθεται γαρ ἡμῖν πνευματικὴ τράπεζα, καὶ κρατὴρ μυστικὸς, ἐξ ἡδέων ἐδεσμάτων εὐφροσύνης πλήρης, ἡ τοῦ Μάρτυρος ἀρετή. Οὗτος γὰρ ὁ καρτερόψυχος, ἐκ σπαργάνων μητρικῶν, τῷ τῆς χάριτος βέλει τετρωμένος τὴν ψυχὴν, τῷ Θεῷ προσήνεγκε θυσίαν λογικὴν, ἑαυτὸν εἰς ἀκμὴν ἡλικίας, παραδόξως ἐνεργῶν θαυμά-



σια· ἐκ πέτρας γάλα καὶ ὕδωρ βλύσας, καὶ τὴν αὐτὸν τεκοῦσαν ἅμα ζωώσας τῷ ῥήματι· τῶν τοῦ Χριστοῦ παθημάτων κοινωνὸς ὅλως γεγονώς. Ἀλλ' ὢ στεφάνων ἀπείρων ἀμοιβῆς, διὰ βασάνων καταξιωθεὶς, ἔνδοξε καλλιμάρτυς Νεόφυτε, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. *Θεοτοκίον.*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε.

**Εἰς τὸν στίχ.** *στιχηρὰ Προσόμοια. Ἦχος δ'.*

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς φυτόν σε οὐράνιον, καὶ Ἀγγέλων ἐπάξιον, ἀληθείας μάρτυρα γενναιότατον, καὶ Ἐκκλησίας ἑδραίωμα, καὶ πύργον ἀκλόνητον, προσβολαῖς τοῦ πονηροῦ, καὶ κρηπῖδα ἀσάλευτον εὐσεβείας τε, ἐγνωκότες, Νεόφυτε τρισμάκαρ, τὴν σεπτήν σου καὶ ἁγίαν ἐπιτελοῦμεν πανήγυριν.

*Στίχ.* Δίκαιος ὡς φοίνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος.

Ἐν χρυσίου χλωρότητι, ἐξαστράπτουσα ἔφησε, κύκλῳ τὰ μετάφρενα ἡ ἀκέραιος, καὶ ἐπουράνιος πέλεια, Μητρί σου θεόφρονι, ἐν τῇ σκέπῃ τῶν αὐτῆς, καλλιμάρτυς Νεόφυτε, σκεπασθήσεται, περιηργυρωμένων τε πτερύγων, ὡς ἀνάθημα Κυρίῳ, ὡς καθαρώτατον σφάγιον.

*Στίχ.* Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν.

Τοῦ πυρὸς οὐ κατέπτυξας, τὴν λαμπρὰν καὶ μετάρσιον, φλόγα παναοίδιμε, οὐδὲ σώματος, σοῦ τὴν ἀκμὴν τυραννούμενος, καὶ κατατεμνόμενος, σπαραγμοῖς ἀνηλεῶς, καὶ τῷ δόρατι ἔσχατον ἀναιρούμενος· ἀλλ' ὑπέστης γενναίως τὸν ἀγῶνα, καὶ Θεῷ τῷ παντεπόπτῃ, παρέθου Μάρτυς τὸ πνεῦμά σου.

*Δόξα. Ἦχος πλ. α'.*

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι ἐν τῇ πανδήμῳ πανηγύρει τοῦ φεραυγοῦς ἀθλητοῦ. Βασιλεῖς καὶ ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν στεφανίτην κροτείτωσαν ἐν ὕμνοις, βασιλεῖς ἐλέγξαντα, τοὺς τῇ πλάνῃ κρατουμένους πρὶν, καταλῦσαι παραδόξως εὐδοκήσαντα. Ποιμένες καὶ Διδάσκαλοι, τὸν τοῦ καλοῦ

Ποιμένος κριὸν σφαγιασθέντα, συνελθόντες εὐφημήσωμεν· τὸν φωσφόρον τὸν φωταυγῆ, τὸν οὐρανοδρόμον ἀστέρα, τὸν χρυσοφεγγέστατον λύχνον, τὸν ἔμψυχόν τε θησαυρὸν, τὸν πυρίμορφον τοῦ Δεσπότου πρέσβυν, τὸν μαργαρίτην Χριστοῦ τὸν μέγαν, τὸ ζωηφόρον φυτὸν τοῦ Λόγου, ἁπάντων Χριστιανῶν τὸ ἐγκαλλώπισμα, ᾄσμασι Θεηγόροις ἐγκωμιάζοντες, οὕτως εἴπωμεν· νεόφυτον Κυρίου, ἀξίωσον πάντας ἡμᾶς τῆς οὐρανῶν βασιλείας, χρυσαυγὲς Νεόφυτε, τῇ μεσιτείᾳ σου.

Καὶ νῦν. *Θεοτοκίον*.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε.

*Ἀπολυτίκιον*. *Ἦχος δ'*. Ὁ μάρτυς σου Κύριε.

Ἐκ βρέφους τὸν Κύριον ἐπιποθήσας σοφὲ, χαρίτων ἀνάπλεως τοῦ θείου Πνεύματος, ἐγένου Νεόφυτε· ἔδραμες ἐν σταδίῳ, ὥσπερ γίγας δρομαίως· ἤστραψας τοῖς ἐν σκότει τῶν θαυμάτων ἀκτῖσι· διό σου τοὺς τιμῶντας τὴν μνήμην φρούρει ἀεὶ ταῖς πρεσβείαις σου.

Δόξα, καὶ νῦν. *Θεοτοκίον*. Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον.

*Τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος.*

---

**Εἰς τὸν Ὄρθρον.**

*Μετὰ τὴν α' στιχολογίαν. Καθίσματα. Ἦχος α'.*

Τὸν τάφον σου Σωτήρ.

Ὁ μέγας ἀριστεὺς, τοῦ τῶν ὅλων Δεσπότου, ὡς ἄδυτος ἀστὴρ, ἀνατέλλεις τῷ κόσμῳ, ἡμῶν προϊστάμενος, καὶ φρουρῶν ἡμᾶς ἔνδοξε· ὅθεν σήμερον τὴν παναγίαν σου μνήμην, ἑορτάζοντες, ἁμαρτημάτων τὴν λύσιν, λιταῖς σου λαμβάνομεν.

Δόξα· *τὸ αὐτό*. Καὶ νῦν· *Θεοτοκίον*.

Τὰς χεῖράς σου σεμνὴ, νῦν ἐκτείνασα οἴκτῳ, βοήθειαν ἡμῖν, ἐξ Ἁγίου παράσχου, καὶ δίδου ἀκίνδυνον, τὴν ζωὴν διανύσασθαι, τοὺς δοξάζοντας, τὸν σὸν πανάγιον Τόκον, καὶ σὲ Δέσποινα, ἀεὶ κηρύττοντας Κόρη, ἐλπίδα καὶ καύχημα.



*Μετὰ τὴν β' στιχολογίαν. Καθίσματα. Ἦχος γ'.*

Θείας πίστεως ὁμολογία.

Κόσμον ἔλιπες, μαρτύρων δόξα, καὶ ἐν ὄρεσι προσεκαρτέρεις· ἀλλ' ὁ Χριστός σοι τὸ ποτήριον ἔνειμεν· ὅπερ πιὼν κοινωνὸς αὐτῷ γέγονας, καὶ τῶν ἐπάθλων τὰ γέρα ἀπείληφας, ταῖς πρεσβείαις σου, σοφὲ ἀθλητὰ Νεόφυτε, αἰτούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. *τὸ αὐτό*. Καὶ νῦν. *Θεοτοκίον*.

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ χοῦν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

*Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος δ'.*

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Νεοθαλὲς ὥςπερ φυτὸν ἐκβλαστήσας, ἐν τῷ λειμῶνι τῶν Χριστοῦ ἀθλοφόρων, καρποὺς ἐνθέου γνώσεως προσήγαγες Χριστῷ, οἷς περ διατρέφονται, οἱ πιστῶς σε τιμῶντες, ἔνδοξε Νεόφυτε, ἀθλητὰ γενναιόφρον. Ἀλλὰ ταῖς σαῖς δεήσεσιν ἡμᾶς, πάντοτε σῶζε, Θεῷ παριστάμενος.

Δόξα. *τὸ αὐτό*. Καὶ νῦν. *Θεοτοκίον*.

Μετὰ Θεὸν ἐπὶ τὴν σὴν, Θεοτόκε, προσπεφευγὼς ὁ ταπεινὸς θείαν σκέπην, παρακαλῶ δεόμενος· ἐλέησον Ἁγνὴ, ὅτι ὑπερῆράν μου, κεφαλὴν ἁμαρτίαι, καὶ πτοοῦμαι Δέσποινα, τὰς κολάσεις καὶ φρίττω. Ἱκετηρίαν ποίησον, σεμνὴ, πρὸς τὸν Υἱόν σου ἐκ τούτων ῥυσθῆναί με.

*Οἱ Ἀναβαθμοί. Τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.*

*Προκείμενον ἦχος δ'.*

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος.

*Στίχ*. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Τὸ Πᾶσα πνοή. *Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων.

ὁ Ν'. Δόξα. Ταῖς τοῦ ἀθλοφόρου
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
*Στίχ.* Ἐλέησόν με ὁ Θεός.

*Καὶ τὸ Ἰδιόμελον. Ἦχος πλ. β'.*

Σήμερον ἡ οἰκουμένη πᾶσα, ταῖς τοῦ ἀθλοφόρου αὐγάζεται ἀκτῖσι· καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία, ἀγαλλομένη, Νεόφυτε, βοᾷ σοι· Μάρτυς Χριστοῦ, εὐσεβείας ὑπέρμαχε, μὴ ἐλλείπῃς πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

*Ὁ Κανὼν τῆς Θεοτόκου.* Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν *εἰς δ'. Καὶ τοῦ Ἁγίου εἰς δ' οὗ ἡ Ἀκροστιχίς·*

Χριστοῦ φυτόν σὲ Μάρτυς εὐφημῶ νέον! Ἰωσήφ.

*Ὠδὴ α'. Ἦχος πλ. δ'.* Ὑγρὰν διοδεύσας.

Χριστοῦ σε παμμάκαρ νέον φυτὸν, λειμῶνι βλαστῆσαν, τῶν Μαρτύρων καὶ ἱεροὺς, καρποὺς εὐσεβείας ἐξανθῆσαν, ἐπεγνωκότες ὑμνοῦμεν Νεόφυτε.

Ῥημάτων τῶν θείων ἐκπληρωτὴς, δεικνύμενος Μάκαρ, ἀπὸ βρέφους τὴν ἀγαθὴν, μερίδα ἐμφρόνως ἐξελέξω, καὶ ὁδηγὸς πλανωμένων γεγένησαι.

Σταλάζων Θεόφρον τὸν γλυκασμὸν, τῆς Θεογνωσίας, ἐκ χειλέων τῶν ἱερῶν, ψυχὰς φαρμαχθείσας τῇ κακίᾳ, τοῦ ἀλλοτρίου σεπτῶς κατεγλύκανας.

*Θεοτοκίον.*

Τεκοῦσα τὸν φύσει Δημιουργὸν, ἐθέωσας ὅλην, τὴν οὐσίαν τῶν γηγενῶν· διό σε κυρίως Θεοτόκον, ὁμολογοῦμεν Παρθένε Θεόνυμφε.

*Ὠδὴ γ'.* Σὺ εἶ τὸ στερέωμα.

Ὅλον ἀνακείμενον, τῷ πανοικτίρμονι Λόγῳ σε, τὸ καθαρὸν, Πνεῦμα διετήρει ἀπαράτρωτον, ἔνδοξε.

Ὕμνησαν τὸν Κύριον, πλήθη λαῶν πιστῶν βλέψαντα, τὴν διὰ σοῦ, Μάρτυς τῆς τεκούσης, ἐκ νεκρῶν ἀναβίωσιν.

Φῶς ἐναπαστράπτουσα, περιστερὰ φωνῇ ζώσῃ σε, πρὸς τὰς ὁδοὺς, τὰς σωτηριώδεις, προσκαλεῖται Νεόφυτε.



*Θεοτοκίον.*

Ὕμνον χαριστήριον, γένος βροτῶν ἀεὶ νέμει σοι, Μήτηρ Θεοῦ, τὴν ἀθανασίαν, διὰ σοῦ κληρωσάμενον.

*Κάθισμα· ἦχος πλ. δ'.* Τὸ προσταχθὲν μυστικῶς.

Ὑπὸ τὴν σκέπην σου Θεόφρον ἀθλοφόρε, προσπεφευγότες βοηθόν σε ἐν κινδύνοις, εὕροιμεν ὁμοθυμαδὸν ἐν τῷ σεπτῷ ναῷ σου, ὑπερέχοντα χεῖράς σου ἐφ' ἡμᾶς, καὶ παγίδων λυτρούμενον τοῦ ἐχθροῦ, ἀξιοῦντά τε λαμπρότητος τῆς τῶν ἁγίων μετασχεῖν, πρεσβείαις σου πρὸς Κύριον, καλλιμάρτυς Νεόφυτε.

Δόξα. Καὶ νῦν. *Θεοτοκίον.*

Θεοχαρίτωτε Ἁγνὴ εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι καὶ τοῖς Ἀρχαγγέλοις καὶ πᾶσι τοῖς Ἀσωμάτοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους διόρθωσιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

*Ὠδὴ δ'.* Εἰσακήκοα Κύριε.

Τὸ τοῦ βίου σου ἄμεμπτον, καὶ τῆς διανοίας τὸ ἀκατάπληκτον, πλήθη πάμπολλα θεώμενα, τῷ Θεῷ προσῆλθον, μάρτυς ἔνδοξε.

Ὄρος φθάσας κατῴκησας, θείῳ ὁδηγούμενος μάκαρ Πνεύματι· ὑπ' Ἀγγέλου δὲ τρεφόμενος, τῶν Ἀγγέλων ὤφθης ἰσοστάσιος.

Νόμους θείους δεξάμενος, σὺ τοὺς γεγραμμένους ἀξιοθαύμαστα, τούτους σπεύσας ἐκπεπλήρωκας, ὑπελθὼν τοὺς πόνους τῆς ἀθλήσεως.

*Θεοτοκίον.*

Ἑκουσίως πτωχεύσαντα, πλούτῳ ἀγαθότητος τὸν ὑπέρθεον, Θεοτόκε ἀπεκύησας, τὴν ἡμῶν πτωχείαν κατοικτείραντα.

*Ὠδὴ ε'.* Ἵνα τί με ἀπώσω.

Μυστηρίων ἀρρήτων, ἔμπλεως γενόμενος ἀξιοθαύμαστε, πρὸς τοὺς προκειμένους, τῆς ἀθλήσεως χαίρων ἐχώρησας, ἀνδρικοὺς ἀγῶνας, μὴ καταπτήξας τὰς βασάνους, μηδὲ θάνατον, μάρτυς Νεόφυτε.

Ἀπορρήτῳ προνοίᾳ, τοῦ τὰς σὰς εὐθύνοντος πορείας ἔνδοξε, ἐπιστάντες θεῖοι, πρὸς τὸ στάδιον εἷλκόν σε Ἄγγελοι, ἀπὸ ὄρους ἄλλον, ὥς περ Μωσῆν δεδοξασμένον, τῷ προσώπῳ ταῖς θείαις λαμπρότησι.

Ρῆμα ζῶν ἐν καρδίᾳ, ἔχων παναοίδιμε μάρτυς Νεόφυτε, θαρραλέᾳ γνώμῃ, τοῖς διώκταις ἐβόας· Αὐτόκλητος, τοῖς ἐμὲ ζητοῦσι, πάρειμι νῦν τοῦ διελέγξαι, τῶν ὑμῶν σεβασμάτων ἀσθένειαν.

*Θεοτοκίον.*

Τὸ πρὸ πάντων αἰώνων, Κόρη παναμώμητε θεῖον μυστήριον, ἀποκεκρυμμένον, διὰ σοῦ ἐγνωρίσθη τοῖς πέρασιν· ὁ Υἱὸς καὶ Λόγος, ὁ τοῦ Θεοῦ, σὰρξ χρηματίσας, καὶ θεώσας Παρθένε τὸν ἄνθρωπον.

*Ὠδὴ στ'.* Τὴν δέησιν ἐκχεῶ.

Ὑψούμενος ἐπὶ ξύλου Παμμάκαρ, τῷ σιδήρῳ τὰς πλευρὰς κατεξάνθης, ἀνηλεῶς, καὶ τοῦ πλάνου ἐλέγχοις, τὴν πωρωθεῖσαν καρδίαν ἐσπάραξας, προστάσσοντος θύειν θεοῖς, καὶ Θεὸν ἐξαρνεῖσθαι ἀθάνατον.

Στρεβλούμενος, καὶ πεδούμενος Μάρτυς, συνεπόδισας εἰς τέλος τὴν πλάνην· καὶ τοῦ ἐχθροῦ, τὰς ἀτάκτους πορείας, ἀπράκτους ἔδειξας σθένει τοῦ Πνεύματος· καὶ ἔδραμες πρὸς οὐρανὸν, καὶ Χριστῷ στεφηφόρος παρίστασαι.

Ἐθέλχθης, ταῖς καλλοναῖς τοῦ Δεσπότου, καὶ αὐτῷ προσεκολλήθης κραυγάζων· Λόγε Θεοῦ, διὰ σὲ τὸν τυθέντα, ἐθελουσίως ἐγὼ σφαγιάζομαι, μιμούμενος περιφανῶς τὰ σεπτά σου καὶ θεῖα παθήματα.

*Θεοτοκίον.*

Ὑπέρλαμπρος, ἀνεδείχθης καθέδρα, Βασιλέως οὐρανίου Παρθένε· ἐν ᾗ σαρκὶ, ἀνεπαύσατο θέλων, καὶ τὸν πολὺν ἡμῶν κόπον ἀφείλετο, καὶ ἵδρυσε τῷ Πατρικῷ, ὡς ηὐδόκησε θρόνῳ τὸν ἄνθρωπον.



*Κοντάκιον. Ἦχος πλ. δ'.* Τῇ ὑπερμάχῳ στρατηγῷ.

Τῇ ὑπερμάχῳ καὶ ταχείᾳ ἀντιλήψει σου, προσπεφευγότες οἱ πιστοὶ, Μάρτυς Νεόφυτε, ἱκετεύομεν θερμῶς τοῦ διασωθῆναι, ἐκ παντοίων συμπτωμάτων καὶ κακώσεων, τοὺς ὑμνοῦντάς σου τὴν μνήμην τὴν πανίερον, καὶ κραυγάζοντας, χαίροις Μάρτυς πολύαθλε.

*Ὁ Οἶκος.*

Τὴν οὐρανόθεν μοι ἰσχὺν, κατάπεμψον Οἰκτίρμων, Τρισήλιε Θεότης, ἡ ὑποστήσασα τὸ πᾶν τῷ παντουργῷ σου νεύματι, ἀνυμνῆσαι τὸν Μάρτυρα, ὡς στεφάνων ἐπάξιον· καὶ ὃν σὺ κατεφύτευσας εἰς τὰς ἐντίμους σου αὐλὰς, Βασιλεῦ ὑπεράγαθε, διαχρύσῳ στεφάνῳ περιβεβλημένον, ἡμεῖς γηθοσύνως ἐγκωμιάζομεν λέγοντες· Χαίροις Μάρτυς πολύαθλε.

*Συναξάριον.*

Τῇ ΚΑ' τοῦ αὐτοῦ μηνὸς μνήμη τοῦ ἁγίου Μεγαλομάρτυρος Νεοφύτου.

*Στίχ.* Τὸν Νεόφυτον ἐκριζοῖ γῆθεν δόρυ,
Νέου φυτοῦ κάλλιστον οἷά περ θάλλος.
Εἰκάδι πρώτῃ Νεοφύτου ὄσσ' ἐκάλυψεν.

Οὗτος ἦν ἐκ Νικαίας τῆς κατὰ Βιθυνίαν, παῖς εὐσεβῶν καὶ χριστιανῶν γεννητόρων, Θεοδώρου καὶ Φλωρεντίας, ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ. Εὐθὺς δὲ ἐν ἀρχῇ τοῦ βίου ἦν χάριτος πλήρης Θεοῦ. Ἔννατον γὰρ ἔτος ἄγων τῆς ἡλικίας, μετὰ τῶν παίδων, οἷς ἐπὶ μαθήμασι γραμμάτων συνῆν, προσηύχετο, καὶ ταῦτα παραδόξως διέτρεφε. Καὶ καταπτᾶσα περιστερὰ, τὴν κλίνην αὐτοῦ περιίπτατο· ἀνθρωπίνως δὲ φθεγξαμένης αὐτῆς, ἐπεὶ ἡ τοῦ Ἁγίου μήτηρ, τῷ δέει ἐξέθανε, ταύτην αὐτὸς διὰ προσευχῆς ἤγειρε. Τὸ δὲ ὄρος τοῦ Ὀλύμπου καταλαβὼν, εἰς ἓν τῶν σπηλαίων εἰσέδυ, ἔνθα ἡ ὁδηγοῦσα αὐτὸν περιστερὰ ἔδειξεν εἰσελθεῖν. Καὶ τὸ ἐν αὐτῷ θηρίον ἀποδιώξας, ἐποιεῖτο ἐκεῖσε τὴν οἴκησιν ὑπὸ Ἀγγέλου τρεφόμενος.

Τοῦ δὲ ἑνδεκάτου ἔτους ἐπιβὰς, δι' ἀποκαλύψεως, ἐκ τοῦ ὄρους κατῆλθε, καὶ τοὺς γεννήσαντας ἀσπασάμενος, καὶ ἐκ τῶν ὑπαρχόντων αὐτοῖς χορηγήσας τοῖς ἐνδεέσι, πάλιν τὸ ὄρος καταλαβὼν, τῷ πεντεκαιδεκάτῳ ἔτει τῆς ἡλικίας αὐτοῦ, παρέστη τῷ ἡγεμόνι Δεκίῳ, δι' ἐπικουρίας Ἀγγέλων τὴν πρὸς αὐτὸν ποιούμενος κάθοδον. Ὅθεν, διὰ τὴν ἀπροσδόκητον παρρησίαν, πρῶτον μαστίζεται, εἶτα εἰς κλίβανον πυρὸς ἐμβάλλεται.

Σωθεὶς δὲ τῇ τοῦ Χριστοῦ χάριτι, θηρίοις ἀφίεται. Ἐπεὶ δὲ τῆς ἁπάντων ἀβλαβὴς διέμεινε λύμης, ἐπιπεσόντος βαρβάρου τινὸς ἀναιρεῖται ξίφει, καὶ οὕτω τὸν στέφανον τῆς ἀθλήσεως παρὰ τοῦ ἀγωνοθέτου Θεοῦ κομίζεται.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Μαξίμου τοῦ Ὁμολογητοῦ.

*Στίχ.* Ἄχειρ, ἄγλωττος, χεῖρα καὶ γλῶτταν φύεις,
Καὶ χερσὶ Θεοῦ, Μάξιμε, ψυχὴν δίδως.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου Πατρὸς ἡμῶν Ζωσίμου, ἐπισκόπου Συρακούσης, Σικελῶν νήσου.

*Στίχ.* Μετάστασιν Ζώσιμος εὗρεν ἐκ βίου,
Ὧ καὶ πρὸ ταύτης πᾶς μετάστασις βίος.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν ἁγίων μαρτύρων Εὐγενίου, Οὐαλλεριανοῦ, Κανδίδου καὶ Ἀκύλα.

*Στίχ.* Τὸν Εὐγένιον καὶ συνάθλους τρεῖς ἅμα
δι' εὐγένειαν ψυχικὴν κτείνει ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Σύναξις τῆς ἁγίας Εἰρήνης, ἐν τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ τῇ οὔσῃ πρὸς θάλασσαν· καὶ μνήμη τῆς ἁγίας μάρτυρος Ἁγνῆς.

*Στίχ.* Ὑπὲρ νέον σοι μόσχον, ὡς Δαυὶδ λέγει,
ἤρεσκεν Ἁγνὴ πυρπολουμένη, Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ ἅγιοι τέσσαρες μάρτυρες οἱ ἐν Τύρῳ ξίφει τελειοῦνται.

*Στίχ.* Στερρῶν ἀθλητῶν τεσσάρων φωνὴ μία·
ἡμῖν τὸ θνήσκειν ἐκ ξίφους εὐθυμία.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

*Ὠδὴ ζ'.* Παῖδες Ἑβραίων.

Ζωόκαυστον κλίβανον ποιήσας, ὁ παράνομος ἐν τούτῳ κατακλείει, ἐν ἡμέραις τρισίν· ἐφλέχθης δὲ οὐδόλως, ἀναβοῶν Νεόφυτε· Ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἤδετο ὕμνος παραδόξως, ἱσταμένου σου φλογὸς ἐν μέσῳ Μάκαρ· ἡ γὰρ δρόσος Θεοῦ ἀνέψυχέ σε μάρτυς, ἀναβοῶντα· Κύριε ὁ Θεὸς εὐλογητὸς εἶ.



Μέγιστον θαῦμα καταπλῆττον, πᾶσαν ἔννοιαν ἐν σοὶ τὸ πεπραγμένον· τὸ γὰρ πῦρ οὐδαμῶς συμφλέξαν σε Θεόφρον, διεκχυθὲν κατέκαυσε, τοῦ πυρὸς τοὺς κληρονόμους.

*Θεοτοκίον.*

Ὤφθης Ἀγγέλων ὑπερτέρα, βουλῆς Ἄγγελον μεγάλης τετοκυῖα, Θεοτόκε ἁγνή, ᾧ πάντες μελῳδοῦμεν· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

*Ὠδὴ η'.* Ἑπταπλασίως κάμινον.

Νέῳ παμμάκαρ σώματι, καὶ τελείῳ φρονήματι, τὴν τοῦ ἀρχεκάκου πονηρίαν ὤλεσας, φυτὸν ὡραιότατον, ἀναβλαστῆσαν ἐν ταῖς αὐλαῖς, τοῦ ἐξ Ἰεσσαὶ ἀναβλαστήσαντος ῥίζης· πρὸς ὃν βοᾷς ἀπαύστως, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἐν τῷ σταδίῳ θῆρές σε, Ἀθλοφόρε ᾐδέσθησαν, ὥσπερ Δανιὴλ, τὸν ἱερὸν τὸ πρότερον. Χριστοῦ γάρ σε ἔγνωσαν, τῶν παθημάτων Μάρτυρα· ὃν ὁμολογῶν, τὰς ἀνηκέστους βασάνους, ὑπέμεινας κραυγάζων· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὁ ἐγνωκώς σε πρότερον, ἐν τῷ ὄρει Νεόφυτε, λέων παμμεγέθης, ἐν σταδίῳ ὄντι σοι, ἀχθεὶς ἐπαφίεται, εἰς τιμωρίαν σου Ἀθλητά· καὶ ἀναγνωρίσας, προσεκύνει σοι φόβῳ, αἰδοῖ συγκεκραμένος, καὶ πηγὰς κατανύξει, δακρύων εὐαισθήτως, προχέων Θεομάκαρ.

*Θεοτοκίον.*

Νέον παιδίον τέτοκας, τὸν πρὸ πάσης τῆς κτίσεως, φύντα ἐκ Πατρός, ἀνερμηνεύτως Πάναγνε· αὐτὸν οὖν ἱκέτευε, παλαιωθέντα πταίσμασι, νῦν ἀνακαινίσαι, καὶ βοῶντά με σῶσαι· Οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Ὠδὴ θ'.*

Ἔφριξε πᾶσα ἀκοή.

Ἵστασο οἷά περ ἀμνός, πρὸς σφαγὴν ἐθελουσίως προκείμενος τοῖς ἀναιροῦσί σε, πικροῖς διώκταις, Μάρτυς Νεόφυτε· καὶ κεντηθεὶς σου τὴν

πλευρὰν, λόγχῃ τὸ μακάριον, τέλος ἀπείληφας, ἀθλοφόρε Χριστοῦ γενναιότατε.

Ὡς θῦμα ὡς περικαλλὲς, ἱερεῖον ὡς σεπτὸν καλλιέρημα, ὥς περ ἀνάθημα, ναοῦ ἁγίου ὡς καθαρὰ προσφορὰ, ὥς περ στρουθίον ἐκλεκτὸν, ὡς μόσχος πολύτιμος, ὡς νέον μάκαρ φυτὸν, Παραδείσου, τῷ Θεῷ προσενήνεξαι.

Σύμμορφος γέγονας παθῶν, τοῦ παθόντος δι' ἡμᾶς ἀγαθότητι, καὶ τῇ ἰσότητι τῆς λόγχης Μάρτυς ὄντως δεδόξασαι· καὶ νῦν οἰκεῖς τοὺς οὐρανοὺς, νίκης διαδήματι καλλωπιζόμενος, καὶ χαρᾶς ἀδιαδόχου πληρούμενος.

Ἡ μνήμη ἡ πλησιφαὴς, καὶ πανένδοξος τῆς σῆς ἐναθλήσεως, Μάρτυς ἀνέτειλεν, ἡλίου πλέον περιαυγάζουσα, τὰς διανοίας τῶν πιστῶν, ἐν ᾗ δυσωποῦμέν σε, σκότους παντοίων παθῶν, καὶ κινδύνων χαλεπῶν ἡμᾶς λύτρωσαι.

*Θεοτοκίον.*

Φέρουσα, οἷά περ λαβὶς, τὸν οὐράνιον Θεόνυμφε ἄνθρακα, τὰ φρυγανώδη μου, καρδίας πάθη καὶ νῦν κατάφλεξον· καὶ τῆς γεέννης τοῦ πυρὸς, λύτρωσαί με δέομαι, ἵνα δοξάζω σε, τὴν ἐλπίδα τῶν πιστῶν, Παναμώμητε.

*Καταβασίαι.* Χέρσον ἀβυσσοτόκον.

**Ἐξαποστειλάριον.**

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἐπιφανεὶς Νεόφυτε, ἤγειρας παραδόξως, νεκρὰν τὴν σὲ κυήσασαν, θαῦμα μέγιστον δείξας, Χριστοῦ θεράπων ὡς μέγας, ᾧ καὶ νῦν στεφηφόρος, Θεόφρον παριστάμενος, μὴ ἐλλίπῃς πρεσβεύων ὑπὲρ τῶν σὲ, ἀνυμνούντων, Ἅγιε, καὶ τελούντων, τὴν φωτοφόρον μνήμην σου, Ἀθλοφόρε καὶ Μάρτυς.

*Θεοτοκίον ὅμοιον.*

Τὸ ξένον καὶ ἀπόρρητον, τοῦ ἀχράντου σου τόκου, θεοπρεπὲς μυστήριον, καταπλήττει Ἀγγέλους, καὶ τῶν βροτῶν τὰς χορείας, Μητροπάρθενε Κόρη· καὶ γὰρ Θεὸς ἐν μήτρᾳ σου, σαρκωθεὶς ἀσυγχύτως ἄνευ



σπορᾶς, ὤφθη ὁ ἀπρόσιτος προσιτός μοι, ἑνώσας με Θεότητι, τῇ αὐτοῦ παραδόξως.

**Εἰς τοὺς Αἴνους·** τὸ Πᾶσα πνοή· *ἱστῶμεν στίχ. δ' καὶ ψάλλομεν στιχηρὰ Προσόμοια γ' δευτεροῦντες τὸ α'. Ἦχος α'.*

Τῶν οὐρανίων ταγμάτων.

Ἐκ τοῦ Κυρίου τὴν χάριν ἐκ βρέφους Μάρτυς λαβὼν, τῶν ἐπὶ σοὶ θαυμάτων, ἐξ ἀνύδρου ὀπῆς δὲ, ὕδωρ σὺ προχέεις ποταμηδὸν, μελισταγὲς καὶ σωτήριον, τὴν δίψαν πάντων τῶν παίδων, Μάρτυς σοφὲ, παναοίδιμε Νεόφυτε.

Ἐν ἐρημίαις τὸ πρῶτον ἔζης καὶ ὄρεσι, Νεόφυτε Κυρίῳ, ἀξιύμνητε Μάρτυς, αὖθις δὲ δι' Ἀγγέλου τυραννικῶν, πρὸ βημάτων παρέστηκας, παγκρατιάζων Ἑλλήνων μάκαρ θεοῖς, καὶ τὴν νίκην κομιζόμενος.

Ὁ Σαβαὼθ Παντοκράτωρ Κύριος Ἅγιος, μηνύει σοι ὑψόθεν, βουλὴν ὄντως ἁγίαν· φρουρῆσαι ἐν τῷ γήρᾳ γονέας τοὺς σοὺς, καὶ πρὸς αὐτὸν ἐπιστρέφεσθαι, τὸν τῶν ἁπάντων Πατέρα καὶ Ποιητὴν, ὦ πολύαθλε Νεόφυτε.

Δόξα. *Ἦχος πλ. β'.*

Δεῦτε πιστοὶ σήμερον χορείαν ἐπικροτήσαντες, εὐσεβῶς πανηγυρίσωμεν, καὶ τοῦ ἀθλοφόρου τὴν ἔνδοξον καὶ σεβάσμιον μνήμην, ἐνδόξως τιμήσωμεν λέγοντες· Χαίροις εὐσεβείας ὁ πρόμαχος, καὶ στερρὸν προπύργιον τῆς Ἐκκλησίας. Χαίροις τῶν Μαρτύρων ἡ δόξα καὶ ὡραιότης. Χαίροις τῆς Τριάδος φυτὸν εὐθαλὲς, καὶ Χριστὸν ὑπὲρ τοῦ κόσμου ἱκέτευε, βασίλειον ὅπλον, στεφανηφόρε Νεόφυτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

**Δοξολογία Μεγάλη.**

*Εἰς τὴν Λειτουργίαν. Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος Ὠδὴ τρίτη καὶ ἕκτη.*

*Ὁ Ἀπόστολος. Προκείμενον ἦχος βαρύς.* Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ. *Στίχ.* Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου. Πρὸς Τιμόθεον β' ἐπιστολῆς Παύλου τὸ

ἀνάγνωσμα. Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ. *Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην*. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Ταῦτα ἐντέλλομαι ὑμῖν. *Ζήτει εἰς τὴν κϛ' Ὀκτωβρίου*. Κοινωνικόν. Εἰς μνημόσυνον.

# ΤΕΛΟΣ

---

### Τυπικὴ διάταξις.

Εἰ τύχοι ἡ ἡμέρα αὕτη ἐν Κυριακῇ. Ἑσπέρας ἐν τῷ Μεγ. Ἑσπερινῷ στιχολογοῦμεν τὸ α' Κάθισμα τοῦ Ψαλτηρ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι' καὶ ψάλλομεν γ' Ἀναστάσ. τοῦ τυχόντος Ἤχου, γ' Ἀνατολ. καὶ γ' τοῦ Ἁγίου, δευτεροῦντες τὸ α'. Δόξα. τοῦ Ἁγίου. Καὶ νῦν. Θεοτ. τοῦ τυχόντος ἤχου. Μετὰ τὸ προκείμενον τὰ Ἀναγνώσματα. Εἰς τὸν στίχ. τὰ δ' Ἀναστ. τοῦ ἤχου. Δόξα. τοῦ Ἁγίου. Καὶ νῦν. Θεοτ. Ναὸς καὶ πύλη. Ἀπολυτίκ. Ἀναστ. τοῦ Ἁγίου. καὶ Θεοτ. Τὸ ἀπ' αἰῶνος.

Τὸ πρωῒ μετὰ τὸν Τριαδ. κανόνα, ἡ Λιτὴ τοῦ Ἁγίου καὶ τὰ Τριαδικά. Μετὰ τὸ Θεὸς Κύριος, Τροπάρ. Ἀναστ. δίς. τοῦ Ἁγίου καὶ Θεοτοκ. Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον. Εἶτα τὰ Καθίσματα· δύο Ἀναστάσ. μετὰ τῶν Θεοτ. Μετὰ τὸν Πολυέλ. Κάθισμα τοῦ Ἁγ. καὶ Θεοτ. Τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, τὰ Ἀντίφωνα. Οἱ Κανόνες τῆς Ὀκτωήχ. εἰς δ' καὶ τοῦ Ἁγ. εἰς δ'. Ἀπὸ γ' ᾠδῆς, Κοντάκ. καὶ Οἶκος τῆς Ὀκτωήχ. εἶτα τὸ Κάθισμ. τοῦ Ἁγ. καὶ Θεοτ. Ἀφ' ϛ'. Κοντάκ. καὶ Οἶκος τοῦ Ἁγ. καὶ τὰ Ὑπομνήματα. Καταβασίαι, Χέρσον ἀβυσσοτόκον. Μετὰ τὴν η' ᾠδήν, Τὸ Ἑωθινὸν Εὐαγγέλ. Ἀνάστασιν Χριστοῦ. ὁ Ν' καὶ ὁ Εἱρμ. τῆς θ' ᾠδῆς. Ἡ Τιμιωτέρα στιχολογεῖται. Ἐξαποστ. Ἀναστάσ. τοῦ Ἁγ. καὶ Θεοτ. Εἰς τοὺς Αἴνους Ἀνάστ. δ' καὶ τοῦ Ἁγ. εἰς δ'. Δόξα. Τὸ Ἑωθινόν. Καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογία Μεγάλη. Σήμερον σωτηρία.



Εἰς τὴν Λειτουργ. Τὰ Τυπικά. καὶ Μακαρισμοὶ δ' Ἀναστάσ. καὶ δ' τῆς ϛ' ᾠδῆς τοῦ Ἁγ. Μετὰ τὸ Δεῦτε προσκυνήσωμεν Τροπάρ. Ἀναστάσ. τοῦ Ἁγίου, τῆς Μονῆς καί: Ὁ μήτραν παρθενικήν. Ἀπόστ. τοῦ Ἁγίου. Εὐαγγέλιον τῆς Κυριακῆς. Κοινων. Αἰνεῖτε.

Εἰ τύχοι δὲ ἐν Κυριακῇ τοῦ Τριῳδίου. Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι' καὶ ψάλλομεν Ἀναστάσ. τοῦ τυχόντος ἤχου δ' τοῦ Τριῳδ. γ' καὶ τοῦ Ἁγ. γ'. Δόξα τοῦ Τριῳδ. Καὶ νῦν, τοῦ τυχόντος ἤχου. Εἴσοδος καὶ τὰ Ἀναγνώσματα. Ἀπόστιχα, δ'. Ἀναστάσ. Δόξα τοῦ Ἁγ. Καὶ νῦν. τοῦ Τριῳδίου.

Τὸ πρωΐ, ὡς ἀνωτέρω. Μετὰ τὴν Ὑπακοὴν Κανόνες Ἀναστ. εἰς δ' τοῦ Τριῳδ. εἰς δ' καὶ τοῦ Ἁγ. εἰς δ'. Ἀπὸ γ' ᾠδῆς Κοντάκ. καὶ Οἶκος Ἀναστάσ. εἶτα Κάθισμα καὶ Θεοτ. τοῦ Τριῳδ. Ἀφ' ἕκτης Κοντάκ. καὶ Οἶκος τοῦ Τριῳδ. τὰ Ὑπομνήματα τοῦ Ἁγίου καὶ εἶτα τοῦ Τριῳδ. Μετὰ τὴν η' ᾠδὴν τὸ Ἑωθινὸν Εὐαγγέλιον. Ἀνάστασιν Χριστοῦ. Ὁ Ν'. Τῆς μετανοίας ἄνοιξόν μοι πύλας. Ἡ Τιμιωτέρα. Ἐξαποστειλ. Ἀναστάσ. τοῦ Τριῳδίου, τοῦ Ἁγ. καὶ τὸ Θεοτ. Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. η' καὶ ψάλλομεν Ἀναστάσ. δ' τοῦ Τριῳδ. β' καὶ β' τοῦ Ἁγ. Δόξα τοῦ Τριῳδ. Καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογ. Μεγάλη. Σήμερον σωτηρία.

Εἰς τὴν Λειτουργίαν. Ἀπόστολος τοῦ Ἁγ. Εὐαγγέλ. τοῦ Τριῳδίου. Κοινωνικὸν Αἰνεῖτε καὶ Ἀπόλυσις.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ